Ἀδριανούπολις. Ἀδριανοῦ πόλις
Μιχαὴλ Ἀνδρονίκου συμβασιλεύων 1320
Ὀδρυσοί. Χριζούπολις

Ὀλίγον δέ τινα χρόνον ἐνδιατρίψας ἐκεῖ (ἐν ἔω κα- — Κανταкουζηνός.
τὰ Περσῶν) πέμπεται (ὁ Μιχαήλ) παρὰ τοῦ πατρὸς — Α.
αὐτοῦ (Ἀνδρονίκου) ὁ βασιλεὺς τῇ Ἀδριανοῦ πόλει ἐν- — σ 13
διατρίβειν. ὁ διέτριψεν ἐκεῖ χρόνον τινὰ συχνόν.
εἶτα τοῦ πατρὸς πάλιν προσταχθέντος, πρὸς Θεσσα-
λονίκην ἀπῆρεν.

Ἐπὶ τούτοις τῷ βασιλέως δομεστίκῳ τῷ μεγάλῳ πολλὴν — σ. 384-5
χάριν ὁμολογήσαντες . . . . . . . . .
ἐτράποντο πρὸς τὸ βουλεύεσθαι περὶ τῶν παρόντων, ἐκλο-
γὴν ποιήσασθαι τοῦ μέλλοντος αὐτοὺς ὑποδέξασθαι φρού-
ριον ὅλως ἐρυμνόν, ἐπικαίρως κείμενον καὶ πρὸς τὸ φυλάξαι
διαρπάζοντας, καὶ πρὸς τὸ τοῖς μαχομένοις ἀνθίστασθαι
ῥᾳστώνην παρέχον. ἐδόκει μὲν οὖν ἔχεσθαι τὴν ἐκ Ὀ-
δρύσου ἐπώνυμον Ἀδριανοῦ πόλιν, πολλῶν ἕνεκα καὶ ἀ-
ναγκαιοτάτην αὐτοῖς . . . . . . . . .
. . . . συνετίθεντο δὲ μᾶλλον πρὸς τὴν ἐν Θρᾴ-
κῃ Χριζοῦ πόλιν ἀπελθεῖν

Ἀδριανούπολις 1322 Βούλγαροι. Δηώσεις αὐτῶν.
ἡ Ὀδρυσῶν χώρα. καὶ 1323

σ. 188.

Τοῦ δὲ ἔτους, οὗ Μιχαὴλ ὁ Ῥωμαίων βασιλεὺς τῶν Παλαιολό-
γων ὁ δεύτερος ἐτεθνήκει, τὴν Μυσίαν Σκύθαι καταδρα-
μόντες στρατιᾷ, μέχρις τε αὐτῆς καὶ τῆς Ὀδρυσῶν ἄχρι
Ἀδριανουπόλεως ἐπῆλθε καὶ ἐζημίωσεν οὐ μικρῶς, ἅτε καὶ τῆς
στρατιᾶς ἀναριθμήτου οὔσης. Τῷ δὲ εἰσιόντι ἔτει, τοῦ νέου βα-
σιλέως διὰ τὸν πρὸς τὸν πάππον πόλεμον περὶ Βυζάν-
σ. 189 τιον στρατοπεδευομένου στρατιὰ οὐκ ὀλίγη ἐς τὴν Ῥωμαί-
ων ἐσβαλοῦσα, πᾶσαν μὲν κατέδραμε τὴν Θρᾴκην,
ἐζημίωσε δὲ οὐ πολλὰ διὰ τὸ τοὺς ἄρχοντας τῶν κατὰ
Θρᾴκην πόλεων τὴν ἔφοδον προεγνωκότας, τοὺς κατὰ τὴν
χώραν ἐσκεδασμένους ἀνθρώπους συγκλεῖσαι ταῖς πό-
λεσι. ἑβδόμης δὲ ἰνδικτιῶνος ἱσταμένης, καὶ τῶν Σκυθῶν
δυοκαίδεκα μυριάδες ἐσέβαλλον ἐς τὴν Ῥωμαίων. ἐστρα-
τήγουν δὲ αὐτῶν μυρίαρχοί τε καὶ χιλίαρχοι κατὰ τὸν ἀ-
ριθμὸν, καὶ αὐτοκράτορες στρατηγοὶ δύο, Ταϊτὰχ καὶ Τογγου
Τογγαν. ἐχρόνισαν μὲν οὖν οἱ Σκύθαι μάλιστα ἐν τῇ
ἐσβολῇ ταύτῃ τεσσαράκοντα μιᾷ ἡμέρᾳ μετ᾽ αὐ-
τὴν ἐν μέσῃ καθήμενοι τῇ Θρᾴκῃ αὐτὴν ἐδῄουν.
καὶ πλῆθος δὲ ἀνδραπόδων ἦγον καὶ λείαν ἔλαβον καὶ ἀρι-
θμητον καὶ τὰ μέγιστα ἐκάκωσαν τὴν βασιλέως γῆν.
βασιλεὺς δὲ ὁ νέος τὴν μὲν ὑπὸ Ῥωμαίους οὖσαν
καὶ ἤδη συναθροίσας στρατιὰν (διεσκεδασμένοι γὰρ
κατὰ πόλεις ἐφύλαττον ἕκαστος τὴν αὐτῶν [illegible]

Αδριανούπολις. 1323. Βούλγαροι
Διδυμότειχον. Προμουσπόλου. Έβρος

δε εννεα μάλιστα συναθροίσας ανιχνεύων περιῄει, ώστε 6.189.
μέρος τινι της Σκυθικης στρατιας εντυχων, όσον αν εξῇ α-
μύνασθαι αυτω. επι πεντεκαίδεκα μεν ουν ημέρας τουτο
εποίει συνεχως· μηδεν δε ων ηβούλετο ανύων, εις
Αδριανούπολιν ελθων, το μεν πολυ καθίστησι της
στρατιας ολίγους άμα τω μεγάλω δομεστίκω παρα-
λαβων, την εις Διδυμότειχον ῄει. μεταξυ δε της τε
Αδριανου και αυτου, εν χωρίω τινι Προμουσπόλου
προσαγορευομένω στρατια περιέτυχε Σκυθικη, αν- 6.190
δράποδά τε και λοιπην λείαν αγούση πολλην. τουτο δε
τε ιδειν παρασχόντος, τοις μεν Ρωμαίοις η Σκυ-
θων στρατια ην καταφανης, ομοίως δε και η Ρωμαίων αυ-
τοις. βουλευσαμένω δη τω βασιλει άμα τω μεγάλω δο-
μεστίκω, εδόκει επιχειρειν αυτοις, ει και τριπλασίους η και
πλείους των σφετέρων ενομίζοντο στρατιωτων· ησαν δε
ου τρις, αλλα και δεκάκις τόσοι. ησαν γαρ εγγυς αυτων
και έτεροι στρατοπεδευμένοι ους αφανεις ο Έβρος εποίει
ιδρυμένους παρ' αυτω, οι προσεβοήθουν, γενομένης της
~~συμπλοκης~~ βοης. τουτο δε έδοξεν, και τοις στρατιώταις την γνώμην
κοινουνται. ως δε και αυτοις εδόκει μαχητέα είναι, και μάλλον
ησαν προθυμότεροι του βασιλέως, την ίππον αποβάντες
και θεον επικαλεσάμενοι, τους μεν αδίκως επιστρατεύ-
σαντας κολάσασθαι της αδικίας, αυτοις δε τιμωρησαι
δικαίως αμυνομένοις, σταυρω τε καθοπλίσαντες εαυτους

δ' 496

Ἀδριανούπολις 1923. Βήγαραι (;)
Ἕβρος. Διδυμότειχον Μόρρα

σ. 190 ἔφοδοι γενόμεναι ἐποίησαν τοῖς βαρβάροις ἀθρόως ϗ παραβόλως φροντίσαι. ϗ οἱ Σκύθαι ἰδόντες ἀντεπῄεσαν καὶ αὐτοί, προσεβοήθουν δὲ ϗ οἱ ἐγγὺς στρατοπεδευμένοι. ϗ γενομένης μάχης καρτερᾶς, θεοῦ συμμαχήσαντος τοῖς Ῥωμαίοις, ἐτρέψαντό τε τοὺς βαρβάρους ϗ ἐνίκησαν κατὰ κράτος· ϗ τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ λοιποὺς ἀπέπνιξαν εἰς τὸν Ἕβρον ἐμβαλόντες. διεσώθησαν δὲ ὁ πλῆθος αὐτῶ ϗ εἴκοσιν αὐτῶν, οἵτινες ἴσχυσαν διανήξασθαι τὸν ποταμόν. οἱ δὲ Ῥωμαῖοι τούς τε νεκροὺς σκυλεύσαντες τῶν πολεμίων, ϗ τὴν ἄλλην διαρπάσαντες ἀποσκευήν, ϗ τὴν λείαν ϗ τοὺς αἰχμαλώτους λαβόντες ἧκον εἰς Διδυμότειχον ἅμα τῷ βασιλεῖ. τῶν δὲ διασωθέντων βαρβάρων

σ 191 τῶν βαρβάρων εἰς τὸ μέγα στρατόπεδον ἐλθόντων, ὡς τοῖς στρατηγοῖς ἠγγέλθη τὸ συμβάν, στρατιὰν ἐκ τῶν ἀρίστων οὐκ ὀλίγην ἐπιλεξάμενοι, ἀπέστειλαν καθ' ὃν ἡ μάχη τόπον ἐγεγόνει, ὡς ἂν εἰ μὲν ἐντύχοιεν τοῖς νικήσασι Ῥωμαίοις, ἀναμαχέσωνται τὴν ἧτταν· εἰ δ' οὖν, ἀλλά γε τοὺς σφετέρους θάψωσι νεκρούς, ϗ εἴ τινες ἐν αὐτοῖς εὑρεθῶσιν ἐμπνέοντες τραυματίαι, ἀνελόμενοι ἀξιώσωσιν ἐπιμελείας. ἐλθόντες δὲ ϗ ταφῆς ἀξιώσαντες τοὺς νεκρούς (ζῶντα γὰρ οὐδένα εὗρον) πρὸς μὲν τὸ στρατόπεδον ὑπέστρεψαν εὐθύς, τὴν δὲ πρὸς τὰ οἰκεῖα φέρουσαν ᾔεσαν ὁδόν. ὡς δὲ ἠγγέλθη βασιλεῖ παρὰ Μόρραν εἶναι Σκυθικὴν στρατιὰν Διδυμοτείχου ἐγγύς, ἤλαυνεν ὡς εἶχε

Ἀδριανούπολις 1323 Βούλγαροι

Ἕβρος. Τζερνομιάνου (;) Τούνζας (ὁ) Ραιδεστός. Βιζύη

ταχὺ ἐπ' αὐτούς. διαβάντων δὲ αὐτῶν κατὰ τὴν Τζερνο- σ 191
μιάνου λεγομένην πόλιν ἐπεὶ καὶ ὁ βασιλεὺς κατὰ τὸν αὐ-
τὸν διεβίβασε πόρον ἣν εἶχε στρατιάν, ἡ κατὰ τὴν Α-
δριανούπολιν καταλειφθεῖσα στρατιὰ παρὰ βασιλέως ἅ-
μα τοῖς σφετέροις ἄρχουσιν· ἐνταῦθα προσέμιξαν τῷ
βασιλεῖ, συγχαίροντες μὲν αὐτῷ τῆς κατὰ τῶν βαρβά-
ρων νίκης, ἀνιώμενοι δὲ ὅτι καὶ αὐτοὶ μὴ παρῆσαν ἀλλ'
ὑστέρησαν τῆς μάχης, καὶ ἐπεδίωκον ἑνωθέντες. γε-
νόμενοι δὲ κατὰ τὸν Τούνζαν λεγόμενον ποταμόν,
τὴν μὲν Σκυθικὴν ἄρτι διαβᾶσαν εὗρον στρατιάν,

1324 μ. Χ. μ.' Ὁ βασιλεὺς δὲ ὁ νέος κατὰ τὸ Διδυμότειχον καὶ σ 193
τὴν Ἀδριανοῦ διέτριβε πόλιν· περὶ ~~τὴν~~ δὲ τὴν τοῦ σίτου μάλιστα
συγκομιδὴν ἡ αὐτοῦ γαμετὴ νόσῳ κατεσχέθη. διανοούμενος δὲ
καὶ αὐτὸς ἐς Βυζάντιον ἀπελθεῖν, προέπεμψεν αὐτήν, ἅμα
καὶ διὰ τὴν νόσον· γενομένη δὲ ἐν Ραιδεστῷ ἐπεὶ μὴ ἐδύ-
νατο ἀντέχειν, ἐτελεύτησε ἐννεακαιδεκάτῃ κατὰ Αὔγουστον μῆ-
να ἑβδόμης ἰνδικτιῶνος, οὐδένα ἔχουσα ἐκ βασιλέως
παῖδα. τὸν μὲν οὖν νεκρὸν αὐτῆς κομίσαντες εἰς Βυζάν-
τιον ἐν τῇ τοῦ Λιβὸς ἔθαψαν μονῇ . . . . . . . . σ 194
βασιλεὺς δὲ ὁ ταύτης ἀνὴρ τὴν ἐς Βυζάντιον βαδίζων, ἐνό-
σει καὶ αὐτὸς κατὰ τὰς αὐτὰς ἡμέρας, γενόμενος ἐν Βιζύ-
ῃ καὶ προσέμεινεν ἡμέρας τινὰς ἐκεῖ διὰ τὴν νόσον. ἐπεὶ δὲ

5 492

Ἀδριανούπολις. 1324. 1330. 1336.

Ἡράκλεια Ἀγχίαλος Μεσημβρία Ἀετὸς Κτένια. Ῥωσόκαστρον Διάμπολις

σ. 194 ἐρραΐσαν σχέδιο τῆς ὁδοῦ, καὶ γέγονεν κατὰ τὴν Ἡράκλειαν τῆς Θρᾴκης, συνέβαινεν ἄλλως, τὴν τῆς βασιλίδος ἐπίδοσιν δεξαμένην, καὶ ἐπενόησεν ἐπὶ τοῦ πεντεκαίδεκα ἡμέρας. ἔσχατα ἧκεν ἐς τὴν Κωνσταντίνου.

σ. 431 1330 μ. Χ. . . . . . τοῖς δὲ προσχωρήσασιν ἀσφαλῶς πολιχνίοις φρουρὰς ἐγκαταστησάμενος ὁ βασιλεύς, τῶν δὲ λοιπῶν περὶ τὴν ἄκραν πόλεων . . πρόνοιαν ποιησάμενος . . . . ὥστε ἀμύνεσθαι . . . ἂν ἐπίωσιν οἱ Τριβαλλοὶ τὴν ἄλλην στρατιὰν ἀναλαβών, ἐς Ἀδριανούπολιν ἐπανῆλθεν. x ὀλίγαις δὲ ὕστερον ἡμέραις καὶ τὴν ἐπίλοιπον Ῥωμαίων στρατιὰν ὅση ἦν συναγαγών, ἐσέβαλεν ἐς τὴν Μυσίαν, καὶ τά τε ἄλλα κάκιστα τὴν χώραν δῃώσας καὶ ἐκ τῶν ὑπηκόων πόλεων Μυσῶν τὴν Ἀγχίαλον καὶ Μεσημβρίαν καὶ Ἀετὸν Κτένιά τε καὶ Ῥωσόκαστρον καὶ Διάμπολιν προσποιησάμενος ὁμολογίᾳ ἐς Βυζάντιον ἐπανῆκε.

σ. 504 1336 μ. Χ. . . . ἐκεῖθεν δὲ (ἐξ Ἀκαρνανίας οὐ πολὺ ὕστερον ἧκεν ἐς Ἀδριανούπολιν, ὁ βασιλεύς). διατρίβοντι δὲ ἐκεῖ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἔπεμψε πρεσβείαν τὴν πρὸς αὐτὸν ἐν Ῥωσοκάστρῳ περὶ τοῦ κήδους διαλεχθῆ λόγων ἂν ανα

Αδριανούπολις 1336 μ.Χ. Βούλγαροι
Κομνηνης λίμνη (έξω της Αδριανουπόλεως)
Τούντζα

μεμνήσεσθαι νυνί δε ή κατά γνώμην αυτώ ή την επιγα- σ.504
μίαν ποιείσθαι φαίνεται άξιον. βασιλεί δε ταύτα μεν ουκ ην καθ'
ηδονήν. . . . . . . . . . . . . . . .
τω κοινώ δε Ρωμαίων τον γάμον αιρούμενος της θυγατρός 505
γενέσθαι, υπέσχετο ποιήσειν. οι μεν ουν Αλεξάνδρου του βα-
σιλέως πρέσβεις προς την οικείαν επανήκον, ότι βασιλέα πεί-
σαι ηδυνήθησαν περί του κήδους. αυτός δε βασιλεύς εκ της
Αδριανού προς το Βυζάντιον ήκεν, ως της θυγατρός επιμελησό-
μενος του γάμου.

βασιλεύς δε επεί τα προς τοις γάμοις της θυγατρός πάν- σ.508
τα παρεσκευασμένα ην, άρας εκ Βυζαντίου, ήκεν
ες Αδριανούπολιν, επεί τοις γάμοις επιτελέσαι. ήκε δε και ο
των Μυσών βασιλεύς Αλέξανδρος άγων και τον υιόν Ανδρό-
νικον Μιχαήλ βασιλέα και αυτόν κεχειροτονημένον υπ' αυτού.
και ευλογίαι μεν και όσα ιερείς νενόμικαν επί τοις γάμοις έν-
δον ετελέσθη της πόλεως Αδριανού. ευωχίαι δε και πότοι και όσα
προς τέρψιν εξεύρηνται της εορτής παρά τη της Κομνηνής
προσαγορευομένη λίμνης έξω της πόλεως διετελού- σ.509
ντο παρά την Τούνζαν ονομαζόμενον ποταμόν. οκτώ δε ή-
μέραι Ρωμαίων τε και Μυσών τοις των αμφοτέρων βασιλέων
γάμοις συνεορτασάντων της εννάτης άμα έω βασιλεύς Αλέ-
ξανδρος και Μυσοί την βασιλέως θυγατέρα παραλαβόντες
ανεχώρησαν ες την Μυσίαν.

494

## Ἀδριανούπολις. 1341 μ.Χ.

Μέρος πολέμου

Γρηγ. Β' σ. 179. κθ'. Ὁ μέντοι ἐν Ἀδριανουπόλει δῆμος ἐπεὶ τὰς δυνάμεις αὐ-
τῶν ἐπὶ τὸ Βυζάντιον παρέπεμψαν, δείσαντες μὴ ἐγγὺς
βασιλεὺς διατρίβων ὁ Καντακουζηνὸς ἀθρόον αὐτοῖς ἐπιστρα-
τεύσῃ καὶ οὐχ οἷοί τε ἀμύνεσθαι ὦσι διὰ τὸ τοὺς στρατευο-
μένους μικροῦ δεῖν ἅπαντας τοὺς μὲν ἑαλωκέναι τοὺς δὲ μηδὲ
τῶν οἰκιῶν προκύπτειν, ἐν αἷς κατεκρύπτοντο, τολμᾶν, ἄλλως τε
μηδ' ἐκ Βυζαντίου βοήθειαν τινὰ σφίσι προσδοκῶντες ἥξειν·
~~ἐν~~ . . . . . . . . . . . . . . πρὸς βασιλέα τῶν Μυ-
σῶν πέμψαντες πρεσβείαν, δεόμενοι σφίσι κατὰ τάχος βο-
ηθεῖν. Ἀλέξανδρος δὲ ὥσπερ [illegible], οὐ διὰ τὴν χάριν μό-
νον, ἀλλὰ καὶ χρήμασι νομίσας καὶ διαφθερεῖν τοὺς ἄρχοντας τῆς
σ. 180 πόλεως, ὥστε αὐτῷ ῥᾳδίως προσχωρῆσαι, ἧκεν ἐς Ἀδρι-
ανούπολιν ἄγων μεγάλας. τὰ μὲν οὖν τῶν μεμελετημένων ἤ-
νυσεν οὐδέν. οἱ μὲν γὰρ τὴν πόλιν σύμμαχον ἔφασαν, οὐ
δεσπότην κεκληκέναι. βασιλέα δὲ τὸν Καντακουζηνὸν οὐ
τὰ τυχόντα ἔβλαψεν ἡ ἐκείνου ἄφιξις, νομισθεῖσα παρὰ πᾶ-
σιν ὡς ὑπὲρ βασιλέως γεγονέναι. ἦλθε γὰρ πρὸς τὸν Μέλανα
ποταμὸν ἀπεσταλμένη παρ' ἐκείνου στρατιὰ καὶ οἱ στρατηγοὶ μὴ νο-
μίσαντες λυσιτελὲς ἐνταῦθα διακινδυνεύειν, τοῦ βασιλέως σφί-
σι συμμαχήσοντος παρὰ τῶν Μυσῶν, ἐπανεζεύγνυον. ἐν δὲ τῇ
ἀναχωρήσει ἀποστάντες τινὲς καὶ οὐκ ὀλίγοι στρατιῶται
τοὺς στρατηγοὺς καταλιπόντες διέδρασαν ἐς Βυζάντιον, ὧν ἦν καὶ
ὁ Βατάτζης Ἰωάννης, τάξιν ἄρτι τὴν Ἀχυραΐτην προσαγο-
ρευομένην, καὶ αἱ τῆς Θρᾴκης καὶ Μακεδονίας πόλεις, ὅσαι βασι-

[illegible]

Αδριανούπολις. Διδυμότειχον 1347 μ.Χ.

Μιχαήλ Καντακουζηνός

μετὰ τοὺς μυρίους πόνους καὶ κινδύνους καὶ τὴν πολλὴν ἀπόδει- σ. 47
ξιν τῆς εἰς αὐτὸν εὐνοίας, ἐπεὶ περιεγένετο τῶν πολε-
μίων, τῇ πρὸς βασιλέα Ἰωάννην τὸν γαμβρὸν εὐ-
νοίᾳ οὐ μόνον ἐκείνου, ἀλλὰ καὶ τοὺς περὶ αὐτὸν ἅπαν-
τας προθυμῆσαι, καὶ τὰ ὄντα ἐν αὐταῖς ὑπ' ἐκείνων πρό-
τερον ἡρμοσμένα, οὐκ εἴασεν ἀπολαμβάνειν, ἀλλ' ἔ-
χοντας περιεώρα ἢν ἀλλῶσι μᾶλλον ἢ πᾶσαν πρό-
νοιαν ποιοῖτο τὴν δυναστείαν τῷ νέῳ βασιλεῖ περι-
ποιεῖν . . . . . . . . . . . . . . . .

17 . . . ἃ ἐκέλευον αὐτὸν ἐν φροντίδι τίθεσθαι καὶ μὴ
ὅλως ἀπεριμερίμνως τὸν κίνδυνον περιορᾶν τὸν και-
20 ρόν, πράττοντα μηδὲν ὑπ' ἀβουλίας, ἀλλὰ προνοεῖν ἵνα
ὁ βασιλεὺς ὁ γαμβρὸς γένοιτο τῆς ἀρχῆς ἁπάσης ἐγκρα-
24 τής . . . . . . . . ἀλλ' ἀμύνεσθαι πάντα τρόπον καὶ σπουδά- σ. 48
σαι ποιεῖν ἐκ μέσου . . . . . . . . . . . .

16 . . . . προσθέμενος δὲ αὐτοῖς τοῦ βασιλέως υἱ-
οὶ διὰ τοῦ ἐσομένου φόβου καὶ κινδύνου ἐπεχείρησε τῷ
ἔργῳ ἢ ἐκεῖνοι ἐβουλεύοντο, καὶ τοὺς πολλοὺς ἀφίξη πρὸς ἑαυ-
τὸν γνώμην ἔχων ὡς ὕστερον δεησόμενος βασιλείας τοῦ
πατρὸς τὴν μετ' ἀρχὴν τὴν πόλεων αὐτὸν ἔχειν διὰ
βίου . . . . . . . . . . . πῶς δὲ ἐπύθετο ὁ
βασιλεύς, ὀργῇ μὲν ἐφέρετο ἀκραίτῳ . . . . . ἔπεμπε
ἡμερῶν . . μεθάσας τὸν θυμὸν . . . . . Εἰρήνην βασι σ. 49

496 Ἀδριανούπολις 1347 μ.Χ.

Καντακουζηνός. Ματθαῖος Καντακουζηνός (υἱός)

Διδυμότειχον.

. τρίτῃ δεκάτῃ Μαΐου . . . ἐν τῷ . . τεμένει σ. 29
τῶν Βλαχερνῶν βασιλεὺς ὁ Καντακουζηνὸς ὑπὸ Ἰσιδώρου
τοῦ πατριάρχου ἐστέφθη αὖθις . . . . . . . καίτοι γε
αὐτὸς ἐν Ἀδριανουπόλει ὑπὸ Λαζάρου τοῦ τῶν Ἱεροσολύμων
πατριάρχου πρότερον ἐστέφθη, ἡ ἀπόχρησιν ἂν ἦν τοῦ ἁγίου
μύρου χρίσις ἐδόκει παρ' εὖ φρονοῦσιν· ἵνα δὲ μηδεμία
εἴη πρόφασις τοῖς ὑβρίζειν ὡς ἄρα μὴ ἐν Βυζαντίῳ κα-
τὰ τὸ ἀρχαῖον τῶν βασιλέων ἔθος, καὶ τὸ δεύτερον αὐ-
τῆς ἐτελέσθη.

. . . εἰς βασιλίδα ἐχώρουν τὴν εἰρήνην οἰόμενοι . . . σ. 46-7
. σφίσιν αὐτοῖς προσέχειν ὡς [illegible] [illegible],
ὡς δὲ ἡ αὐτὴ . . . . . . παύεσθαι ἐκέλευε μεγά-
λαις αὖθις συμφοραῖς τοὺς Ῥωμαίους ἐπιχειροῦντας πε-
ριβάλλειν . . . . . . οἱ μὲν παντελῶς ἡσύχα-
σαν· ἔνιοι δὲ αὐτῶν, ὅσοις ἡ βίος ταραχῆς ἀνάμεστος καὶ θο- σ. 47
ρυβώδης ἦν, ἡσυχάσαντες ἐπὶ μικρόν, ἔπειτα Ματθαῖον ἔ-
πεισαν τὸν βασιλέως υἱόν, Διδυμότειχον καὶ τὴν Ἀδριανού καὶ
τὰς περὶ αὐτὴν πολίχνας κατασχεῖν ἰδίαν συστησάμε-
νον ἡγεμονίαν μετ' αὐτῶν, πρόφασις δὲ ἦν ἡ πρὸς ἐκεῖ-
νον τῆς [illegible] τοῦ [illegible], ὅτι βασιλεὺς ὁ πατὴρ

Αδριανούπολις Διδυμότειχον 1347 μ.Χ.

βασιλίδα την εαυτής μητέρα έπεμψε . . . την αιδοίων ἔρ- σ. 49
γων απεσχήσαντο . . . . . . . ὅθεν τὸ δεσμόν εδείσθη
πρὸς αυτόν . . . η εκείνης μόνα η κατά ύπουργίαν εκάστης.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἀδριανούπολις 1352 μ.Χ. 498

Ματθαῖος Καντακουζηνός. Καντακουζηνὸς Ἰωάννης.
Ἀνδρόνικος Παλαιολόγος. Τοῦρκοι. Τζύμπη

.. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἰδὼν, τῷ τε υἱῷ Ματθαίῳ καὶ σ.238
βασιλεῖ τῷ γαμβρῷ διαφορὰς τινὰς οὔσας πρὸς ἀλλήλους ἔδει ἔγνω
μεταπεμψάμενος διαλύειν τὰς διαφορὰς αὐτοῖς, πάντα ἐξισοῦντας εἰς
αὐτό, ὅσα ἀλλήλοις εἴονται προσκεκρουκέναι. καὶ τόν τε υἱὸν με-
τεκαλεῖτο καὶ βασιλέα τὸν γαμβρὸν παρακαλέσας, ὡς βεβαίας
αὐτοῖς θησόμενος τὰς διαλύσεις. ὁ μὲν οὖν υἱὸς ἀφῖκτο τὴν Ἀδριανοῦ
παραλιπὼν καὶ τὰς περὶ αὐτὴν πολίχνας, βασιλέως δὲ τοῦ πατρὸς
ἐγκεχειρικότος, καὶ περὶ τὴν ἐκείνων πρόνοιαν κεχρημένος ὕ-
στερος κατὰ τὸ βασιλέως πρόσταγμα εἰς Βυζάντιον ἦλθε
. . . . . . . .

Ματθαῖον δὲ τὸν υἱὸν τὴν Ἀδριανοῦ καὶ τὰς ἄλλας πο- σ.240
λίχνας ἔχειν — .

. . . . . . . μετὰ τοῦτο δὲ ἡ συμμαχίαν Περσι- σ.242
κὴν μεταπεμψάμενος (ὁ Ἀνδρόνικος Παλ.) τότε πρῶτον φρού-
ριόν τι κατὰ τὴν Θρᾴκην Τζύμπην καλούμενον προσαγο-
ρευόμενον, τῷ γυναικὸς ἐπετρόπευσεν ἀδελφῷ, μηδεμίαν πρό-
φασιν παρεσχημένῳ πρὸς τὸν πόλεμον, καὶ τὰς δὲ πολίχνας εἶ-
λε, πρότερον ἃς ἦρχεν, ἐθελούσιως προσχωρησάσας, ἔπειτα καὶ τὴν
Ἀδριανοῦ ἐλθὼν, ἡδέως τοῦ δήμου ὑποδεχομένου καὶ πᾶσαν ἀ-
νιέντος ἔσεδεν . . . . . . . . . . Ἀδριανουπολιτῶν δὲ 243
ὁ δῆμος οὐ μόνον τὰ χωμαχεῖν ὅτι μέρος ἐγνωκὼς τῷ βασιλέ-
ως τῷ υἱῷ, ἀλλὰ καὶ ἀποσπᾶσθαι τῷ ἐκείνου καὶ πρὸς ὕβριν

499. Ἀδριανούπολις 1353 μ. Χ.

Παλαιολόγος Ἀνδρόνικος. Καντακουζηνός. Τούρκοι Κατελάνοι. Πλερνουσιάνου (;) Διδυμότειχον

σ. 243 προσφερόμενος ἐξελέξαντο ἀνελευθέρως. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ἐπεὶ ἐπύθετο πολιορκούμενον τὸν υἱόν, καὶ στρατιὰν ὅτι ἅτερον παρεσκευασμένος ὢν ἐπὶ τὴν ἔξοδον, ἐχώρει κατὰ τάχος ἐπὶ τὴν Ἀδριανοῦ, στρατιὰν δὲ Ῥωμαίων οἰκείοις μάλιστα ἐθάρρει, καὶ Περσικὴν ὀλίγην, ἣν Ὀρχάνης ὁ γαμβρὸς παρέσχετο αἰτήσαντι. ἐπὶ τέλους δὲ καὶ λόχον τῶν Κατελάνων, οἳ ὑπελείποντο ἐν Βυζαντίῳ ἀπὸ τῶν τριήρων. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ ἐπύθετο βασιλέα οἱ ἥκοντα τὸν κηδεστήν, ἄλλως δὲ οὐκ ἀξιόμαχος ὤν, καὶ τῆς ἄκρας μάλιστα κατεχομένης, δείσας μὴ αὐτόθεν ῥᾳδίως ἁλίσκοιτο ἡ πόλις, πρότερον ἤγε-

σ. 244 ρα μιᾷ καταλιπών, ἐς τὸν Πλερνουσιάνου πύργον ᾗ κατεῖχε. οἱ ἄρχοντες παραδόντες, ἐκεῖθεν δὲ ἐς Διδυμότειχον ἀνεχώρει, τὸ δὲ Περσικὸν καταλιπὼν ἐν τῇ Ἀδριανοῦ καὶ Ῥωμαίους ἔτι ὀλίγους φρουρεῖν τὴν πόλιν στρατιώτας, καὶ τὴν ὑστεραίαν δὲ Καντακουζηνὸς ὁ βασιλεὺς γενόμενος ἐν Ἀδριανοῦ, ἐπεὶ ἐπύθετο τὸν βασιλέα τὸν γαμβρὸν ἀνακεχωρηκότα, πέμψας παρῄνει τοῖς πολίταις προσχωρεῖν αὐτῷ καὶ τὴν πόλιν παραδιδόναι . . . . . . . . . . . .

Πέρσαι δὲ οἱ σύμμαχοι ἐκείνοις, συνορῶντες ἤδη ἡττημένους, ὅσοι οἷοί τε ἦσαν τῶν σφίσι συντεταγμένων, συναρπάσαντες, προσεχώρησαν βασιλεῖ. αὐτίκα δὲ καὶ οἱ μετὰ τοῦ βασιλέως ἐπιδραμόντες, εἷλον τὸ ἄλλο· ἦσαν γὰρ ὀλίγοι καὶ αὐτοί, διεδί-

## Ἀδριανούπολις 1353 μ.Χ. 500

Λαφυραγωγία εκκλησίας. Εμπρησμοί. Καντακουζηνός
Τούρκοι. Καταλάνοι

δραμόντες δὲ ἐς Ἀδριανούπολιν, ὅσοι μάλιστα κακῶς τὸν βασιλέ- σ. 244
ως ἔλεγον τὰ πολιορκούμενα, δόξαντες, μὴ τῆς αγνωμοσύ-
νης δώσειν δίκας. ὁ δῆμος δὲ τὸ ἦθος, καίπερ ἠττημένα καὶ κα-
τασφαγήσας, ὕβριν τὴν πρὸς βασιλέα δυσχεράνας, ἀλλ' ἔν- σ. 245
δον γενόμενοι τῆς πόλεως ὅσοι μὴ ἑάλωσαν, καὶ τὸν καρτε-
ρώτατον τῶν πύργων κατασχόντες, μίαν δὲ τῶν πυλῶν συμ-
φράξαντες λίθοις, ἠμύνοντο ἔξωθεν ἐπιόντας τοὺς βασιλικούς,
οἱ δ' ἐνέπρησαν πῦρ κατὰ τῶν οἰκιῶν, καὶ οὐ πόνῳ οὐδενὶ περι-
εγένοντο τῶν ἀνθισταμένων. Θρασυνόμενοι γὰρ αὐτίκα οἱ μὲν
ἐν ἀδύτοις κατεκρύπτοντο, οἱ δ' ἱκέτευον ἐν ἱεροῖς. ἡ στρατιὰ
δὲ διεπόρθει τὰς οἰκίας καὶ διήρπασαν τὰ ὄντα. ἀπέθανε
μέντοι καθ' ἡμέραν τὴν μάχην οὐδὲ εἷς. τραυματίαι δὲ ἐ-
γένοντο τινες. ἐπεὶ δὲ ὡς ἤδη πάντα εἶχε, τότε πῦρ ἐκέλευ-
εν ὁ βασιλεὺς σβεννύναι καὶ ἀπέχεσθαι τῆς ἁρπαγῆς τοὺς
στρατιώτας, καὶ τοῖς κυρίοις τὰ ὑπολελειμμένα ἔχειν, καὶ μηδένα
ἀδικεῖν. οἱ μέντοι ἀνδραποδισθέντες ὑπὸ τῶν βαρβάρων
ἐν ὀλίγαις ἡμέραις ὑπὸ τῶν οἰκείων χρήμασιν ἐλυτρώθη-
σαν, οὐ γὰρ πᾶσα ἡ πόλις διηρπάσθη, οὐδὲ παντάπασιν, ἀλλ'
ὅσον ἐν ὀλίγοις ἦν καὶ συνέπεσε τοῖς κατὰ τὴν οἰκίαν
ἃ οἱ στρατιῶται ἀπέδοντο ὠνίους τοῖς κυρίοις, καὶ μάλι-
στα οἱ Καταλάνοι. μετὰ τοῦτο δὲ βασιλεὺς μὲν ὁ Καν-
ταχουζηνὸς ἐν Ἀδριανουπόλει τὰς προσχωρησάσας πρὸς βασιλέ-
α

501 Ἀδριανούπολις 1353 μ. Χ

Δημόσιαι ἐμφύλιαι. Καντακουζηνός. Τζερνομιάνου
Διδυμότειχον. Βούλγαροι

σ. 245 τὸν νέον πόλεις ἐκάκου, πέμψας στρατιάν, ὅσαι μὴ ὑπ' ἐκείνου
246 παρεδόθησαν. ἐκείνας γὰρ καὶ ᾤετο δεῖν ἐπιτραπείσης, τὸ
ἀνακαλέσασθαι παραδεδομένας ὑπ' αὐτοῦ πρὸς τὸν γαμβρόν. καὶ ὀ-
λίγα δ' ἐκάκωσε τὴν Τζερνομιάνου καὶ ἐξεπίεσε πολιορκίαις,
ἄχρις οὗ σφᾶς παρέδοσαν καὶ τὴν πόλιν κατατριβέντες. ἐκεῖνοι
γὰρ ὑπ' ἀβουλίας καὶ ὁρμῆς ἐμπλήκτου καὶ παραβόλου μηδεμιᾶς ἀ-
νάγκης οὔσης, οὐκ ἀπέστησαν μόνον, ἀλλὰ καὶ γράμμασιν ἐδήλουν
ὡς οὐκ ὑπομένουσιν αὐτοὺς τὸν βασιλέα οἴονται, ἀλλ' ἔτι δύναιτο πρὸς
αὐτούς, μηδενὸς καταμέλλειν. ὑπ' οὐ ὀργῆς φερόμενος ἐκίνητο ἀ-
ξίως τῆς παραφροσύνης. Διδυμοτείχῳ δ' οἱ αὐτὸν ἐπεστράτευ-
σεν τῷ ἑτέρῳ τρόπῳ διὰ τὴν ἐκείνου τὸν βασιλέα τὸν νέον κα-
λεῖσθαι φίλον . . . . . . . . .
βασιλεὺς δὲ (1) ὁ νέος ὁμοίως καὶ πρότερον ἀλλὰ ταῦτα προσ-
συγχέας πόλεμον βασιλεῖ τῷ πενθερῷ ἐκάκου καὶ πρὸς Κράλην
πέμψας ᾐτεῖτο συμμαχίαν κατὰ τὰς συνθήκας. Κράλης δὲ
ὑπέσχετο προθύμως, ἣν ὅμηρον αὐτῷ παράσχῃ τὸν ἀδελφὸν
ὑπὲρ τῆς στρατιᾶς. βασιλεὺς δὲ ἐκπέμπει αὐτίκα δεσπότην
Μιχαὴλ τὸν ἀδελφὸν πρὸς Κράλην ὅμηρον ὁμηρεύσοντα.
γενομένου δὲ τοῦ ἐκ βασιλέως ἀδελφοῦ ἡ στρατιὰ ἐξεπέμφθη πα-
ρασκευασθεῖσα ἑπτακισχίλιοι ἵπποι, ὧν ἐστρατήγει Κασνιτζᾶς

(1) ἴσως μᾶλλον γραπτέον «βασιλεὺς δὲ ὁ νέος»

# Ἀδριανούπολις 1353 μ.Χ.

Βούλγαροι. Μυσοί. Καντακουζηνός. Σέρβοι
Αἶνος. Βενετοί. Διδυμότειχον. Ἀδριανούπολις

ὁ Μποσελλοκίων προσαγορευόμενος ἐκ τῶν ἐπιφανεστάτων σ 246
μάλιστα ὢν τῶν παρὰ Τριβαλλοῖς. Ἀλέξανδρος δὲ ὁ τῶν Μυσῶν βασιλεὺς παρέσχετο συμμαχίαν πεντακοσίους πρὸς σ 247
αὐτῷ, ἦν γὰρ ἀεὶ πρὸς βασιλέα τὸν Καντακουζηνὸν ἐν ὑποψίαις, ὅτι μὴ κωλύοι Πέρσας καταθέειν τὴν ἐκείνου γῆν. βασιλεὺς δὲ ὁ Καντακουζηνός, ὅτι Μυσοὺς καὶ Τριβαλλοὺς ὁ νέος αὐτῷ ἐπάγει βασιλεύς, οὐκ ἀγνοῶν μετεπέμπετο στρατιὰν ἐκ τῆς Ἀσίας Περσικὴν παρὰ Ὀρχάνη τοῦ γαμβροῦ. ἦλθον μὲν ἱππότεροι μεγάλῃ παρασκευῇ ὡρμημένοι ἀλλήλοις πολεμεῖν. ἔτι δὲ τῆς συμμαχίδος στρατιᾶς βασιλεῖ τῷ νέῳ διαμελλούσης ἐδόκει δεῖν πρὸς Αἶνον γενόμενον καὶ πρὸς τοὺς ἐκ Βενετίας συνθήκας θέμενον τινάς, εἰς Διδυμότειχον αὖθις ἐπανήκειν. μεταξὺ δὲ τὴν πρὸς Αἶνον διιόντι ἡ ἐκ Τριβαλλῶν συνετύγχανε στρατιά· ἣν ἔπεμψεν ἐς Διδυμότειχον, τῶν περὶ αὐτὸν τοὺς ἐπιφανεστέρους μάλιστα συνεκπέμψας, ἵνα τῆς στρατιᾶς τὸ πλῆθος ὡς αὐτοῖς συνδιατρίβοιεν, ἄχρις ἐπανήξει ἐκ τῆς Αἴνου.

λδ΄. ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ Κάλλιστος ὁ πατριάρχης Κωνσταντινουπόλεως τὴν βασιλέων διαφορὰν ἐν δημοσίᾳ τιθέμενος καὶ κοινὴν νομίζων Ῥωμαίων συμφοράν, ἀρχιερέων καὶ μοναχῶν τοὺς λογάδας ἔχων, ἐς Ἀδριανοῦ πρὸς βασιλέα ἧκε καὶ ἐδέετο καταλύειν τὸν πρὸς γαμβρὸν τὸν βασιλέα πόλεμον

# Ἀδριανούπολις 1353 μ. Χ.

Καντακουζηνός. Διδυμότειχον. Κάλλιστος πατρ. [illegible]
Αἶνος. Βούλγαροι. Μυσοί. Ἕβρος. στρατόπεδον, ῥεῖθρον. Τοῦρκοι. Ἑλλήσποντος

σ. 247 ὡς πολλῶν Ῥωμαίοις αἴτιον γενόμενον κακῶν. βασιλεὺς δὲ
ὁμοίαν ἔχων ἐξ ἀρχῆς ἀεὶ νῦν περὶ πολέμου καὶ εἰρήνης γνώμην
φαινόμενος, καὶ τὴν μὲν αἰτίαν ἠγνόει τῶν συμπεσόντων ἀγαθὸν τὸ
πόλεμον ὁ [illegible] [illegible], ἐξέπεμψεν ἐς Διδυμότειχα
σ. 248 πρὸς βασιλέα τὸν νέον ὡς, ἦν εὐθέως πείθηται [illegible]
ἐξ αὐτοῦ κελεύσεως [illegible] τῇ εἰρήνῃ καὶ γενόμενος ὁ πατριάρ-
χης ἐν Διδυμοτείχῳ, εὗρε βασιλέα τὸν νέον ἀπηρκότα εἰς
τὴν Αἶνον. ἅμα δὲ παρῆσαν καὶ ἡ Τριβαλῶν στρατιὰ καὶ τῶν
Μυσῶν· οὓς οἱ παρὰ βασιλέως πεμφθέντες ἄρχοντες Ῥωμαῖοι ἐ-
στρατοπέδευσαν παρὰ τὸν Ἕβρον, οὐ πόρρω πάνυ Διδυμοτείχου,
οὐχ ἅμα, ἀλλ᾽ ἰδίᾳ καὶ χωρίς. ἦν δὲ τὸ Μυσῶν στρατόπεδον μάλι-
στα ἐγγὺς Διδυμοτείχου. γνώμην δὲ εἶχον ὡς ἐς τὴν ὑστεραίαν συμ-
βαλόντες τῷ στρατοπέδῳ ἐπιστρατεύσοντες [illegible] καὶ κακώσοντες τὰ μά-
λιστα φρούρια ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως κατεχόμενα. συνέβη-
κε δὲ τῆς αὐτῆς ἡμέρας καὶ ἡ κατὰ συμμαχίαν στρατιὰ Περσῶν βα-
σιλεῖ παρεσκευάσατο τῷ Καντακουζηνῷ τὸν Ἑλλήσποντον διαβᾶσα,
παρὰ τὸν Ἕβρον στρατοπεδεῦσθαι, καὶ αὐτὴν ἀγνοοῦσάν τε ἐ-
κείνους, ὅτι πολεμίων ἐγγὺς στρατοπεδεύσαιτο, καὶ ἀγνοουμένην. ἦσαν δὲ
ἱππεῖς μυρίων οὐκ ἐλάσσους, ὧν ἐστρατήγει Σουλεϊμὰν ὁ τῶν Ὀρχάνη
πρεσβύτερος υἱός. γνώμην δὲ εἶχον καὶ αὐτοὶ ὡς ἐς τὴν ὑστε-
ραίαν εἰς Ἀδριανοῦ πρὸς βασιλέα ἀφιξόμενοι. ἅμα δὲ ἕ-
ῳ οἱ δὲ Πέρσαι ἀπάραντες τὸ στρατόπεδον, ἐβάδιζον ὡς

504

## Ἀδριανούπολις 1353 μ.Χ.

### Βούλγαροι. Μυσοί. Διδυμότειχον. Τοῦρκοι. Ἕβρος

ἐπὶ βασιλέα, καὶ Τριβαλοὶ καὶ Μυσοὶ μετὰ Ῥωμαίων τῶν ἀ- σ. 248
γόντων τὰ ὅπλα ἔχοντες ἐπὶ τὸ μέτριον ἐχώρουν, ἀθρόον δὲ καὶ
ἀλλήλοις τὰ στρατόπεδα ἐθεώρων. Μυσοὶ μὲν οὖν ἐτράπον-
το αὐτίκα πρὸς φυγήν, οὐδὲ ἐς χεῖρας ὑπομείναντες ἐλ-
θεῖν τοῖς πολεμίοις, καὶ διεσώζοντο ἐς Διδυμότειχον τῇ φυγῇ σω- σ. 249
τηρίων ὁμολογοῦντες χάριν, ἣ δίδωσιν. Τριβαλοὶ δὲ ὑπέμειναν ἐ-
πιόντας τοὺς βαρβάρους μετὰ Ῥωμαίων τῶν συνόντων. ὀλίγοι δὲ
ἀντισχόντες πρὸς πολλοὺς καὶ βελτίονας, ἡττῶντο κατὰ κράτος, α-
πειρίᾳ δὲ τῶν τόπων, ἅμα δὲ καὶ ὑπὸ τῶν πολεμίων θορυβη-
θέντες, οὐ τὴν πρὸς Διδυμότειχον ἐτράποντο (τὴν) μᾶλλον ἐς σω-
μαι διεσώζοντο διασκεδασθέντες δὲ ἐπὶ τῶν παρακειμένων τῷ
Ἕβρῳ πεδιάδα, πλὴν ὀλίγων πάντες ἀπώλοντο. ἐπὶ πεδία
γὰρ τρεπόμενοι βαθέα καὶ κρημνὰ καὶ οὐδεμίαν ἔχοντα καταφυ-
γὴν καὶ ἵπποις καματηροῖς χρώμενοι, οἱ μὲν ἔθνῃσκον οἱ δ᾽
ἡλίσκοντο, ὑπὸ τῶν βαρβάρων καταλαμβανόμενοι. καὶ διαφέρει
γὰρ οἱ τῶν βαρβάρων ἵπποι τοῖς κατὰ θέειν τε ἐπὶ ταχύ-
τατοι καὶ πρὸς πόνους ἠσκημένοι. Κασνίθης δὲ ὁ στρατηγὸς μό-
νος τῶν ἐπαρχιωτῶν ἠδυνήθη διαδρᾶναι, τῶν ἄλλων ἀ-
πάντων τῶν μὲν πεσόντων, τῶν δ᾽ ἁλωκότων. Ῥωμαίων
δὲ οἱ μὲν ἐπιφανέστεροι πολλὴν ἀνδραγαθίαν καὶ ἀρετὴν
κατὰ τὴν μάχην ἐπιδεδειγμένοι, πάντες ἑάλωσαν, τῶν
βαρβάρων περισχόντων, στρατιωτῶν δὲ ἔπεσον μέν τι-
νες

# Ἀδριανούπολις 1353 μ.Χ.

## Τσρικι. Αἶνος. Καντακουζηνός. Μόρρα Χαλκιδική.

σ. 249 καὶ ἑάλωσαν ὀλίγοι, οἱ πολλοὶ δὲ διεσώθησαν ἐς Διδυμότει-
χον. ὁ μὲν οὖν βασιλεὺς ὁ νέος συμμαχίᾳ ὅθεν ἐστερήθη·
ὃ καὶ μάλιστα ἐλύπησε καὶ διέφθειρε τὰ πράγματα αὐτοῦ.
οἱ βάρβαροι δὲ μετὰ τὴν νίκην τάς τε σκηνὰς τῶν πο-
λεμίων καὶ τοὺς αἰχμαλώτους ἔχοντες καὶ ὅπλα καὶ ἵππους πολ-
σ. 250 λοὺς ἧκον ἐς Ἀδριανοῦ πρὸς βασιλέα· καὶ τινας ἐκεῖ συνδι-
ατρίψαντες ἡμέρας ἔπειτα ἐνέβαλον εἰς τὴν Μυσίαν κατὰ
σφᾶς αὐτοὺς καὶ ἐκάκωσαν οὐ μέτριά τινα, ἔχον-
τες δὲ τὴν λείαν ἐπανῆκον ἐς τὴν οἰκείαν. ἐπανιοῦ-
σι δὲ διὰ τῆς Θράκης, ἐπεὶ καὶ βασιλεὺς ὁ νέος ἐκ τῆς Αἰ-
νου ἐπανῄει μετὰ τῶν συμμάχων τὴν φθορὰν, πρέ-
σβεις ἔπεμψε πρὸς Σουλεϊμὰν τὸν σατράπην καὶ καταλλαγῆ-
ναι ἐπεχείρει . . .

. . . .

σ. 251 . . καὶ βασιλεὺς Καντακουζηνὸς οὐκέτι ἤμελλεν, ἀλλὰ
τὰς ἀποστάσας ἐκείνας πόλεις, μάλιστα δὲ Μόρραν καὶ
τὰς ἄλλας τὰς κατὰ τὴν Ῥοδόπην Ρωμαίου ὑπηκό-
οι, αἱ πολλαὶ γὰρ τῷ νέῳ προσεχώρησαν βασιλεῖ, ἔπειτα
καὶ πρὸς τὴν Χαλκιδικὴν πέμψας στρατιὰν, ἐκέλευσε
κατατρέχειν, αὐτὰς μὲν ὡς βλαψομένας κακῶν. . . . .
ἀλλ' οἱ ἐν Μόρρᾳ τότε μὲν διὰ τὸν πόλεμον ἔμορον αὐτοῖς

## Ἀδριανούπολις 1353 μ.Χ. 506

Βοσνήματα. Χαλκιδική. Λαγγασίας, ἐμπόριοι. Διδυμότειχον. Μέρρα. Καντακουζηνός. Αἶνος.

ἔνθα, τότε ὄντι καὶ τῇ Χαλκιδέων Βοσνήμασι διαχειμάζειν μᾶλ- σ. 251
λον ἐπιτηδειοτέρα διά τε τὴν ἄλλην καὶ τὸ τροφὴν παρέχειν
ἄφθονον, Βοσνήματα πολλὰ καταλαμβάνοντες, πολλάκις ἔδρασαν
βασιλέα πέμψειν ἐπὶ ταύτῃ στρατιὰν αὖ καὶ καταδραμόντες σ. 252
πρὸς τοῖς ξένοις ἐκάκωσαν καὶ τοὺς ἐγχωρίους οὐκ ὀλίγα.
διαμείνειν δὲ τοὺς ἐρρωμένως μάλιστα ἐπὶ τὴν Διδυμότειχον
δὲ κακῶν τι ἄλλα διὰ βασιλέα τὸν μάλιστα, οἱ μὲν τὴν κα-
τὰ Μέρραν πόλιν καταπλήξαντες καὶ πεισθέντες ὑπὸ τῆς πε-
ριξ αὐτῆς προσεχώρησαν βασιλεῖ τῷ Καντακουζηνῷ. . . .

. . . . . . . . . .

ἐπεὶ δὲ οὐ προεχώρουν αἱ συμβάσεις περὶ εἰρήνης, σφοδρότερον
βασιλεὺς ὁ Καντακουζηνὸς ἐπενεχθῆναι τοῖς περὶ τὸν νέον βα-
σιλέα, ὥστε μηδὲ συνεῖναι ἀντέχειν. Διδυμότειχον γὰρ κατα-
λιπὼν καὶ τὰς ἄλλας πόλεις, ὅς ἦρχεν ἐν τῇ Αἴνῳ πρὸς Τέ-
νεδον ἐπεραιώθη. συνέπλει δὲ αὐτῷ καὶ βασιλὶς Ἑλένη ἡ γυ-
νή, Μανουὴλ τὸν νεώτερον τῶν παίδων ἔχουσα. . . . . .

. . . . . . . . . .

λέ. Τότε δὲ τοῦ νέου βασιλέως ἐκ τῆς Αἴνου πρὸς Τένεδον τὴν σ. 255
νῆσον περαιωθέντος, αἱ ὑπ' ἐκείνῳ τελοῦσαι πόλεις πᾶσαι προ-
σεχώρουν βασιλεῖ τῷ Καντακουζηνῷ, ὅσαι καὶ καθ' ἕξιν ὑπῆρχον καὶ
ἄρχοντας εὑρίσκει τοὺς δουλεύοντας μάλιστα αὐτῷ προσέχειν. βασιλεὺς
δὲ ὁ νέος τριήρη μίαν πληρώσας καὶ μονήρεις ὀλίγας, ἐπὶ

50] Ἀδριανούπολις 1353 μ.Χ.

Καντακουζηνός. Βήρα. Διδυμότειχον. Ἰωάννης Παλαιολόγος
Βούλγαροι

σ. 255 Βυζάντιον ἀφίκετο πολλὴν πρόνοιαν ποιούμενος ἀγνοηθῆναι
~~περὶ Βήρ~~ . . . . . . . . . . Καντακουζηνὸς δὲ ὁ βασιλεὺς
περὶ Βήραν διατρίβων, ἐπεὶ ἐπύθετο τὸν γαμβρὸν ἐπὶ Βυζάντιον
ἐλθόντα, κατὰ τάχος ἐπ᾽ ἐκεῖνον ᾔει

σ. 265 . . . . προθύμως δὲ ὅμως παρεσχόμην, ἐδόκει χαρίζεσθαι κου-
φον τῷ νέου (βασιλέως Ἰωάννῃ) τὴν ἐπιθυμίαν, καὶ Διδυμότειχον προσε-
θῆκεν εἰς φιλοτιμίαν ἀντίρροπα εἶναι ἔχειν τὴν ἄλλην. ὧν αὐτὸς ἠ-
θελε. . . . . . . . .
οὐ μόνον γὰρ οὐδὲν ἐποίησε τῶν δεόντων ὁ νέος βασιλεύς,
ἀλλὰ καὶ μετὰ τὸ βασιλίδα τὴν γυναικὸς μητέρα ἀφορμὴν ἀ-
σ. 266 ποδέξασθαι, πρὸς πόλεμον ἐχώρησεν εὐθὺς καὶ ἄλλας τε πό-
λεις ὑπηγάγετο ἃς αὐτὸς οὐ παρεσχημένων καὶ τῆς γυναικὸς ἐπὶ τὸν ἀ-
δελφὸν ἀδελφῷ, οὐδὲν ἠδικηκότι πρότερον, καὶ καταλαβὼν
πρὸς τὴν ἄκραν Ἀδριανοῦ τῆς πόλεως ἐπολιόρκει, οὐ Ῥω-
μαίοις μόνον ἄγων ἀλλὰ καὶ βαρβάροις κατὰ συμμαχίαν. ἐγὼ δὲ ἐ-
πεὶ μέλλειν οὐκ ἐνῆν, ᾗ τάχιστα ἦγον, ἐν Ἀδριανοῦ γενόμε-
νος, τὸν μὲν υἱὸν ἀπήλλαξα τοῦ κινδύνου, βασιλέα δὲ τὸν
νέον οὐδὲν ἠνώχλουν πρότερον ἐν Διδυμοτείχῳ ἀπεκά-
θα, ἀλλὰ καὶ πρέσβεις πέμψας ἐδεόμην καταλύεσθαι τὸν
πόλεμον.

## Αδριανούπολις 1353 μ.Χ.

## Αίνου Δανιήλ. Μάμαντος ο της μονής. Καντακουζηνός

. . . . . μετά μέντοι την ανάρρησιν Ματθαίου του νέου βα- σ. 270
σιλέως εκείνον μεν ες την Αδριανού εξέπεμψεν αυτός ο πα-
τήρ, αυτός δε υπελείπετο εν Βυζαντίω . . . . . . . .
αυτίκα δε επέμπετο ο βασιλεύς και πρεσβείαν προς εκείνον
(Κάλλιστον τον πατριάρχην) εποιείτο. δύο γαρ των αρχιερέων επιλε-
ξάμενος τον Αίνου Δανιήλ και Ιωσήφ τον Τενέδου, και τούτοις
εδίδου των επιφανεστέρων τινάς . . . . . Καβά-
σιλαν τον σακελλίου και Περδίκην τον σκευοφύλακα, έπεμ-
πεν ες την μάρτυρος του Μάμαντος μονήν προς πατριάρχην
και επί τους θρόνους επανελθείν την αρχήν . . . . . . .
. . . . πατριάρχης δε επεί τη βασιλέως γνώμη ήκου- σ. 271
σεν, προς ίσως μεν απεκρίνατο ουδέν, αλλά κατά τι επι-
θήσαντος αυτώ ανάγκην επί τέλει εξεφώνησε χωρισμόν αποθε-
ν. Δανιήλ δε ο της Αίνου την ιεραρχικήν ιδόντος αρχήν
δυσχεραίνοντας επί τοις λεγομένοις και τας τε προστρέπεσθαι
πατριάρχην, εφ' ά επέμφθησαν απεγνωκότες δια την επιμο-
νήν ήδεσαν επιτίμιον . . . . . . μηδ' αναγκάζειν αυτόν σ. 272
έξω μηδέν . . . . . . . . . . .
. . . . . .

τοιαύτα μεν ο βασιλεύς τοις αρχιερεύσι διελέχθη και επήνεσεν σ. 274
εν ταύτω γενομένη . . . . τον αρχαίον θρόνον την πα-
τριάρχου ποιείσθαι εκλογήν. εκείνοι δε πάλιν ωμολόγησαν
τη

509

Ἀδριανούπολις 1353 μ.Χ. 1354 1355

Ματθαῖος Καντακουζηνός.

σ. 274-5 χάριτας τῷ βασιλεῖ τῆς περὶ τὰ ὅπλα εὐλαβείας . . . . .
. . . . ἔσχατα τὴν ὅλην χάριν ἐπικαλεσάμενα τῷ συνοί-
ματος ἐξηγέλλοντο τοῖς . Φιλόθεον δὲ τὸν Ἡρακλείας . .
. . .

σ. 292 1354. Ἐπεὶ δ' ἐπεκράτησε κατὰ τὸν συμβασιλέα Καντακουζη-
νὸ μετὰ τὸν αὐτοκράτορα Παλαιολόγο Ἀνδρονικοῦ ϗ Ἰωάννη. ἀλλ' ὅτι τὸν υἱὸν
Καντακουζηνὸς Ματθαῖον κεχειροτόνητο ἤδη πρότερον ϗ αὐτὸν βασιλέα)
ϗ Ματθαῖον δὲ βασιλέα τὸν Καντακουζηνὸν μένοντα ἐπὶ τοῦ σχή-
ματος, τὴν Ἀδριανοῦ κατέχειν ϗ τὰς κατὰ τὴν Ῥοδόπην τοῖς
Ῥωμαίοις ὑπηκόους πόλεις, διὰ τὸ αὐτόνομον ὄντα ϗ ἀνεύθυνον
κεκτημένον τὴν ἀρχὴν ϗ βασιλέα τὸν νέον Ἰωάννην πόλεμον
μηδέποτε πρὸς ἐκεῖνον περὶ τῶν ἐκδεδομένων πόλεων κινεῖν.»

σ. 342. 1355 μ.Χ. . . . . . . . ὅπως ἀπαιτῇ αὐτὸν (βασιλέα Πα-
λαιολόγον) ἢ μὴν αὐτὸς δὲ μὴ ἀμύνασθαι τῆς βουλῆς ἕνεκα,
. . . . . . ϗ προσέτι χρήματα παρέχειν ϗ Ματ-
θαῖον βασιλέα τὸν γυναικὸς ἀδελφὸν ἀφιέναι τοῦ δεσμω-
τηρίου ϗ τῆς πόλεως Ἀδριανοῦ ϗ τῶν περὶ αὐτὴν πολι-
χνίων ἐπιτρέπειν τὴν ἀρχήν, ὁ δὲ μὴ πρὸς παῖδα βασιλεῖ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Αδριανούπολις. 1355 μ.Χ. 

ὕπαρχοι, μηδὲ πάθοιτο ἀπελθεῖν ὡς ἀποκτείνειν παῖδας σ. 342
ἡ γυναῖκα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ